**Σεμ. 7 (25 Απρ.) Πλάτων Ι: κόσμος και θεός**

ΑΘ. Λέγουσί πού τινες ὡς πάντα ἐστὶ τὰ πράγματα γιγνόμενα καὶ γενόμενα καὶ γενησόμενα τὰ μὲν φύσει, τὰ δὲ τέχνῃ, τὰ δὲ διὰ τύχην.

ΚΛ. Οὐκοῦν καλῶς.

ΑΘ. Εἰκός γέ τοί που σοφοὺς ἄνδρας ὀρθῶς λέγειν. ἑπόμενοί γε μὴν αὐτοῖς σκεψώμεθα τοὺς ἐκεῖθεν τί ποτε καὶ τυγχάνουσι διανοούμενοι.

ΚΛ. Πάντως.

ΑΘ. Ἔοικε, φασὶ, τὰ μὲν μέγιστα αὐτῶν καὶ κάλλιστα ἀπεργάζεσθαι φύσιν καὶ τύχην, τὰ δὲ σμικρότερα τέχνην, ἣν δὴ παρὰ φύσεως λαμβάνουσαν τὴν τῶν μεγάλων καὶ πρώτων γένεσιν ἔργων πλάττειν καὶ τεκταίνεσθαι πάντα τὰ σμικρότατα, ἃ δὴ τεχνικὰ πάντες προσαγορεύομεν.

ΚΛ. Πῶς λέγεις;

ΑΘ. Ὧδ' ἔτι σαφέστερον ἐρῶ. πῦρ καὶ ὕδωρ καὶ γῆν καὶ ἀέρα φύσει πάντα εἶναι καὶ τύχῃ φασὶ, τέχνῃ δὲ οὐδὲν τούτων. καὶ τὰ μετὰ ταῦτα αὖ σώματα, γῆς τε καὶ ἡλίου καὶ σελήνης ἄστρων τε πέρι, διὰ τούτων γεγονέναι παντελῶς ὄντων ἀψύχων· τύχῃ δὲ φερόμενα τῇ τῆς δυνάμεως ἕκαστα ἑκάστων, ᾗ συμπέπτωκεν ἁρμόττοντα οἰκείως πως, θερμὰ ψυχροῖς, ἢ ξηρὰ πρὸς ὑγρὰ καὶ μαλακὰ πρὸς σκληρὰ, καὶ πάντα ὁπόσα τῇ τῶν ἐναντίων κράσει κατὰ τύχην ἐξ ἀνάγκης συνεκεράσθη, ταύτῃ καὶ κατὰ ταὐτὰ οὕτως γεγεννηκέναι τόν τε οὐρανὸν ὅλον καὶ πάντα ὁπόσα ἂν κατ' οὐρανὸν, καὶ ζῷα αὖ καὶ φυτὰ ξύμπαντα, ὡρῶν πασῶν ἐκ τούτων γενομένων, οὐ διὰ νοῦν, φασὶν, οὐδὲ διά τινα θεὸν οὐδὲ διὰ τέχνην, ἀλλ' ὃ λέγομεν, φύσει καὶ τύχῃ. τέχνην δὲ ὕστερον ἐκ τούτων ὑστέραν γενομένην, αὐτὴν θνητὴν ἐκ θνητῶν, ὕστερα γεγεννηκέναι παιδιάς τινας ἀληθείας οὐ σφόδρα μετεχούσας, ἀλλ' εἴδωλ' ἄττα ξυγγενῆ ἑαυτῶν, οἷα γραφικὴ γεννᾷ καὶ μουσικὴ καὶ ὅσαι ταύταις εἰσὶ συνέριθοι τέχναι ...

ΚΛ. Πῶς λέγεις;

ΑΘ. Θεούς, ὦ μακάριε, πρῶτον εἶναί φασιν οὗτοι τέχνῃ, οὐ φύσει, ἀλλά τισι νόμοις, καὶ τούτους ἄλλους ἄλλῃ, ὅπῃ ἕκαστοι ἑαυτοῖς συνωμολόγησαν νομοθετούμενοι. καὶ δὴ καὶ τὰ καλὰ φύσει μὲν ἄλλα εἶναι, νόμῳ δὲ ἕτερα· τὰ δὲ δὴ δίκαια οὐδ' εἶναι τὸ παράπαν φύσει, ἀλλ' ἀμφισβητοῦντας διατελεῖν ἀλλήλοις καὶ μετατιθεμένους ἀεὶ ταῦτα· ἃ δ' ἂν μετάθωνται καὶ ὅταν, τότε κύρια ἕκαστα εἶναι, γιγνόμενα τέχνῃ καὶ νόμοις, ἀλλ' οὐ δή τινι φύσει. (Πλ. *Νομ.* 888e-889e).

**Οι θεωρίες των υλιστών σύμφωνα με τον Πλάτωνα**

**φύση-τύχη**

⇓

τέσσερα στοιχεία

(γη, αέρας, φωτιά, νερό)

⇓

μείξεις των στοιχείων

(ουράνια σώματα, φυσικές κανονικότητες, έμβια όντα = άνθρωποι, ζώα, φυτά)

⇓

**τέχνη**

(διάκριση σε διαφορετικά είδη τεχνών με κριτήριο το πόσο σχετίζονται με τη φύση)

⇓

πολιτική

⇓

νομοθεσία

⇓

θεοί

1. Ο κόσμος δημιουργείται τυχαία και οργανώνεται με βάση αυτόματους μηχανισμούς.
2. Τα πρωτογενή συστατικά του κόσμου είναι υλικά και άψυχα. Κινούνται διαρκώς και έχουν την ικανότητα να συνδυάζονται, κυρίως αν είναι αντίθετα (θερμό και ψυχρό), δημιουργώντας σχηματισμούς.
3. Η τέχνη περιορίζεται στο επίπεδο της ανθρώπινης δραστηριότητας. Είναι θνητή, όπως και οι δημιουργοί της, δηλαδή οι άνθρωποι που ξεχνούν τις τέχνες.
4. Διάκριση ανάμεσα σε *απλές* τέχνες που περιέχουν ελάχιστα στοιχεία αλήθειας και μιμούνται τον φυσικό κόσμο με σκοπό την τέρψη των ανθρώπων (ζωγραφική, μουσική, γλυπτική) και *σύνθετες* τέχνες (ιατρική, γεωργία, γυμναστική) που σχετίζονται και σε κάποιο βαθμό συνεργάζονται με τη φύση (π.χ. η ιατρική θεραπεύει το σώμα κανονίζοντας τη δέουσα ισορροπία ανάμεσα στα αντίθετα).
5. Οι νόμοι, δηλαδή οι ανθρώπινες συμβάσεις που μεταβάλλονται διαρκώς και διαφέρουν από τόπο σε τόπο, καθορίζουν ποιοι θεοί αναγνωρίζονται και πώς πρέπει να λατρεύονται.
6. Επομένως οι θεοί είναι ένα είδος αυθαίρετης ανθρώπινης κατασκευής, το κατώτερο δημιούργημα στην κλίμακα.